μέρη. ὁ Θ ἄρα ὑπὸ ὁμωνύ-
μων ἀριθμῶν μετρηθήσε-
ται τοῖς Α Β Γ μέρεσιν. τοῖς δὲ
Α Β Γ μέρεσιν ὁμώνυμοι ἀ-
ριθμοί εἰσιν οἱ Δ Ε Ζ. ὁ Θ ἄ-
ρα ὑπὸ τῶν Δ Ε Ζ μετρεῖται·
καί ἐστιν ἐλάσσων τοῦ Η. ὅπερ
ἐστὶν ἀδύνατον. οὐκ ἄρα
ἔσται τις τοῦ Η ἐλάσσων ἀ-
ριθμὸς ὃς ἕξει τὰ Α Β Γ μέρη. ὅπερ ἔδει δεῖξαι :–



……

+ ΕΥΚΛΕΙΔΟΥ, ΣΤΟΙΧΕΙΩΝ Ζ :–

+ ΕΥΚΛΕΙΔΟΥ, ΣΤΟΙΧΕΙΩΝ Η :–

α

Ἐὰν ὦσιν ὁσοιδηποτοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον· οἱ δὲ
ἄκροι αὐτῶν πρῶτοι πρὸς ἀλλήλους ὦσιν, ἐλάχιστοί
εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐτοῖς. ἔστωσαν
ὁποσοιοῦν ἀριθμοὶ ἑξῆς ἀνάλογον οἱ Α Β Γ Δ. οἱ δὲ
ἄκροι αὐτῶν οἱ Α Δ πρῶτοι πρὸς ἀλλήλους ἔστωσαν·
λέγω ὅτι οἱ Α Β Γ Δ ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον
ἐχόντων αὐτοῖς. εἰ γὰρ μή, ἔστωσαν ἐλάττονες τῶν
Α Β Γ Δ οἱ Ε Ζ Η Θ ἐν τῷ αὐτῷ λόγῳ ὄντες αὐτοῖς. καὶ
ἐπεὶ οἱ Α Β Γ Δ ἐν τῷ αὐτῷ λόγῳ εἰσὶ τοῖς Ε Ζ Η Θ, καὶ
ἔστιν ἴσον τὸ πλῆθος τῶν Α Β Γ Δ τῷ πλήθει τῶν
Ε Ζ Η Θ, δι' ἴσου ἄρα ἐστὶν ὡς ὁ Α πρὸς τὸν Δ, ὁ Ε πρὸς
τὸν Θ. οἱ δὲ Α Δ πρῶτοι. οἱ δὲ πρῶτοι καὶ ἐλάχιστοι.
οἱ δὲ ἐλάχιστοι ἀριθμοὶ μετροῦσι τοὺς τὸν αὐτὸν λόγον
ἔχοντας ἰσάκις, ὅ τε ἡγού-
μενος τὸν ἡγούμενον καὶ ὁ
ἑπόμενος τὸν ἑπόμενον.
μετρεῖ ἄρα ὁ Α τὸν Ε ὁ μεί-
ζων τὸν ἐλάσσονα· ὅπερ
ἐστὶν ἀδύνατον. οὐκ ἄρα
οἱ Ε Ζ Η Θ ἐλάσσονες ὄντες
τῶν Α Β Γ Δ ἐν τῷ αὐτῷ λό-
γῳ εἰσὶν αὐτοῖς. οἱ Α Β Γ Δ
ἄρα ἐλάχιστοί εἰσι τῶν τὸν αὐτὸν λόγον ἐχόντων αὐ-
τοῖς. ὅπερ ἔδει δεῖξαι :–



β

Ἀριθμοὺς εὑρεῖν ἑξῆς ἀνάλογον ἐλαχίστους, ὅσους
ἂν ἐπιτάξῃ τις, ἐν τῷ δοθέντι λόγῳ. ἔστω ὁ δοθεὶς

EUCLID *Elementa* BYZANTINE, 888 THE BODLEIAN LIBRARY Octavo